Ακαδημία Αθηνών / Academy of Athens

**προσαυδᾶν.** Προσφωνῶ, address, Παρμενίδης 1.23 *καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ δεξιτερὴν ἕλεν, ὧδε δ' ἔπος ηὔδα καί με προσηύδα.*

**προσγίγνεσθαι** (ἀντίθ.*ἀπογίγνεσθαι*). Προστίθεμαι, be added, Ζήνων 2.1-2-4-6-7 *εἰ γὰρ ἄλλῳ ὄντι ... προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι. καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται, δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 7(3)-(4) *ὅτε δὲ μήτε προσγίνεται μηδὲν μήτε ἀπόλλυται μήτε ἑτεροιοῦται, πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων εἴη; ... οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον· οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑγιεῖ· οὐδ' ἂν ὅμοιον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένου, κοὐκ ἂν ἔτι ὅμοιον εἴη.*

**προσεδρεύειν.** Εἶμαι προσηλωμένος/ἐμμένω, be attached to/persist, Δημόκριτος 191.9-15 *τῇ διανοίᾳ μὴ προσεδρεύοντα ... καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων.*

**προσήγορος.** Βλ. **ποτάγορος.**

**προσηνής.** Προσηνὴς/φιλικός, gentle/friendly, Ἐμπεδοκλῆς 130.1 *ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ.* Πρβλ. *κτίλος.*

**πρόσθεν** (ἀντίθ. *ὕστερον*). Πρὶν/προτοῦ, before, Ἡράκλειτος 1 *καὶ πρόσθεν ἢ ἀκοῦσαι* Παρμενίδης 8.10 *ὕστερον ἢ πρόσθεν* Μέλισσος 7(2) *ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐὸν* Ἐμπεδοκλῆς 139.1 *οἴμοι ὅτι οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ.* || **ἐν τοῖς πρόσθεν.** Στὰ προηγούμενα, to the preceding, Ἀναξαγόρας 12.6 *ὥσπερ ἐν τοῖς πρόσθεν μοι λέλεκται.*

**προσκέπτεσθαι.** Ἐξετάζω/προσέχω, examine/attend to, Δημόκριτος 93 *χαριζόμενος προσκέπτεο τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ